καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποί θ' ἡμίονοί τε, καὶ ὧι μόνα ταῦτα πάρεστι,
γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν,
παιδός τ' ἠδὲ γυναικός, ἐπὴν καὶ ταῦτ' ἀφίκηται,
ὥρη, σὺν δ' ἥβη γίνεται ἁρμοδίη.
ταῦτ' ἄφενος θνητοῖσι· τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀΐδεω,
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρείας
νούσους, οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

1-6 Plut. *Sol.* 2. 3.

**25** Plut. *amat.* 5 p. 751b

ἔσθ' ἥβης ἐρατοῖσιν ἐπ' ἄνθεσι παιδοφιλήσηι,
μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

2 Apul. *apol.* 9; Ath. 602e.

**26** Anon. in P. Hercul. 1384 fr. 1 (*Hercul. Vol.* coll. alt. xi. 52; Gomperz, *Wien. St.* 2, 1880, 7 sq.); Plut. *amat.* 5 p. 751e ὅθεν οἶμαι καὶ Σόλων ἐκεῖνα μὲν (fr. 25) ἔγραψε νέος ὢν ἔτι ... ταυτὶ δὲ πρεσβύτης γενόμενος·

ἔργα⌋ δὲ Κυπρογεν⌊οῦς νῦν⌋ μοι φίλα καὶ ⌊Διονύσου⌋
καὶ Μουσέων, ⌊ἃ τίθησ'⌋ ἀνδράσιν εὐ⌊φροσύνας.

Id. *Sol.* 31. 7, *sept. sap. conv.* 13 p. 155e; Hermias in Pl. *Phaedr.* p. 38. 17 Couvreur.